ἐρώτησιν. οὐκοῦν ἀνὴρ ἦν ὁ θεὶς τὸν νόμον τοῦτον ὡς σὺ A
καὶ ἐγώ· καὶ λέγων ἔπειθε τοὺς παλαιούς. ἀντὶ τοῦ
οὐδαμῶς τοῦτο οὕτως ἔχει. ἢ ὥσπερ ἐν τῷ πρώτῳ τὸ

ἥττον πρὸς τὸ ἔπειθε συνήψαμεν, οὕτω καὶ πρὸς τὸ λέγων συναπτέον οὕτω. καὶ λέγων ἥττον καὶ ἔλαττον ἢ ἐγὼ νῦν, ἔπειθε τοὺς παλαιούς.

Ἀφίεμεν, καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
Σκέψαι δὲ τοὺς ἀλεκτρυόνας, καὶ τἄλλα τὰ βοτὰ ταυτί,
Ὡς τοὺς πατέρας ἀμύνεται, καίτοι διαφέρουσ' οὐδὲν B
Ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσι.
Στ. Τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
Οὐκ ἐσθίεις καὶ τὴν κόπρον, κἀπὶ ξύλου καθεύδεις;
Φει. Οὐ ταυτὸν ὦ τᾶν ἐστίν, οὐδ' ἂν Σωκράτει δοκοίη. C
Στ. Πρὸς ταῦτα μὴ τύπτ', εἰ δὲ μή, σαυτόν ποτ' αἰτιάσει.
Φει. Καὶ πῶς; Στρ. ἐπεί σε μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν,
Σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν. Φειδ. ἢν δὲ μὴ γένηται,
Μάτην ἐμοὶ κεκλαύσεται, σὺ δ' ἐγχανὼν τεθνήξει.
Στ. Ἐμοὶ μὲν ὦνδρες ἥλικες δοκεῖ λέγειν δίκαια. D
Κἄμοιγε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεικῆ.
Κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ', ἢν μὴ δίκαια δρῶμεν.
Φειδ. Σκέψαι δὲ χἀτέραν ἔτι γνώμην. Στ. ἀπὸ γὰρ ὀλοῦμαι.
Φειδ. Καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν ἃ νῦν πέπονθας. E
Στ. Πῶς δή; δίδαξον γάρ, τί μ' ἐκ τούτων ἐπωφελήσεις;
Φειδ. Τὴν μητέρ', ὥσπερ καί σε, τυπτήσω. Στ. τί δῆτα φῂς σύ;
Τοῦθ' ἕτερον αὖ μεῖζον κακόν.
Φειδ. Τί δ' ἢν ἔχων τὸν ἥττω
Λόγον σε νικήσω λέγων,
Τὴν μητέρ' ὡς τύπτειν χρεών;
Στρ. Τί δ' ἄλλο γ', ἢν ταυτὶ ποιῇς, F
Οὐδέν σε κωλύσει, σεαυτὸν ἐμβαλεῖν
Ἐς τὸ βάραθρον μετὰ Σωκράτους,
Καὶ τὸν λόγον τὸν ἥττω;

*Remittimus, & condonamus, ut impunè ceciderint nos.*
*Et quæso, gallos & alias pecudes saltem intuere,*
*Quomodo reluctentur patribus. atqui nulla re illi*
*A nobis differunt: nisi quod decreta non faciunt.* ST. *cur*
*Ergo, quandoquidem gallos imitâre per omnia: non &*
*Fimum comedis, & pertica insidens dormis?* PH. *pater mi,*
*Non est idem: neque Socrates hoc pro eodem probârit.*
ST. *Igitur ne pulses: sin minus, olim accusabis teipsum.*
PH. *At quomodo?* ST. *quia mihi meum in te ius est verberandi*
*Te, tibi tuum ius erit in filium: si quis nascetur*
*Tibi.* PH. *at si non nascatur: tum neque à me flebitur: tu*
*Verò morieris ore hianti.* ST. *certè, vos amici*
*Senes, videtur mihi, quod iustum est dicere: &, quod æquum 'st,*
*Concedere hisce. nam nisi nos senes, quod iustum & æquum 'st,*
*Faciam: decet omnino nos vapulare & eiulare.*
PH. *Agè verò & alteram hanc rationem perpende.* ST. *interibo.*
PH. *Imò hæc, quæ modò perpessus eras, fortè non feres molestè.*
ST. *Quidum? agè doce, quid hac re mihi sis cōmodi daturus.*
PH. *Matrem perinde, ut te pulsabo.* ST. *quid dicis scelestè?*
*At maius hoc illo est malum.*
PH. *Quid si inferiore iam nunc*
*Sermone te vincam, & probem*
*Opus esse, ut matrem verberem?*
ST. *Quid obstet autem, si probes*
*Tu, quo minus teipsum cum Socrate tuo,*
*Et sermone inferiore mox*
*Præcipites in Barathrum*

Σχόλια. Συγκεκόφθαι.] τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι.

Bisetus. Τὰ βοτά] τὰ βοσκήματα. κατὰ πάντων δὲ χερσαίων, καὶ πτηνῶν, καὶ ἐνύδρων, καὶ ἀγρίων ζώων λέγεται, παρὰ τὸ βόσκεσθαι. Ἡσύχιος. G

Σχόλια. Πλὴν ὅτι ψηφίσματα.] ἀντὶ τοῦ δικαστήρια οὐκ ἄγουσιν. εἰς δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων αἰνίττεται. Σωκράτει δοκοίη.] ἀπορήσας λύσεως ἐπὶ τὴν τοῦ Σωκράτους δόκησιν ἀνάγει πιστοτέραν οὖσαν. τὰ δὲ πρόσωπα οὕτως. ἀπὸ τοῦ οὐ ταυτὸν ἕως τοῦ οὐ ταῦτα τοῦ νέου ἐστίν. ἵν' ᾖ τοῦ πρεσβύτου τὸ πρὸς ταῦτα τουτέστιν ἅτινα νῦν περὶ τῶν

ἀλεκτρυόνων εἶπον. τὸ καὶ πῶς τοῦ Φειδιππίδου λέγοντος. ἐν δέ τισιν ὁ νέος τὸν οὐ ταυτὸν καὶ ἑξῆς στίχον εὕρηται λέγων. τὰ δὲ ἑξῆς μέχρι τοῦ ἢν δὲ μὴ γένηται, Στρεψιάδης. οἷον καὶ πῶς ἐμαυτὸν αἰτιάσομαι. ἔξεστι γάρ μοι τύπτειν σε. ὥσπερ καὶ σοὶ ἐὰν ἔχῃς υἱόν. Ἐμοὶ μέν.] τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. ἐπιεικῆ δέ, ὅμοια πρέποντα κατὰ τὸ προσῆκον καὶ ἀκόλουθον. συγχωρεῖν τοῖς ἐπιεικέσι, συγχωρεῖν αὐτοῖς. Τοῦθ' ἕτερον αὖ.] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ὀκτώ. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον. τὸ β δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. τὰ ἑξῆς τρία ὅμοια τῷ πρώτῳ, τὸ ς τρίμετρον

ἀκατάλη